eul_wid: tyc-an

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

## On That All Liquids Are Called Divine Water

*Περὶ τοῦ ὅτι πάντων τῶν ὑγρῶν τὸ θεῖον ὕδωρ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

2.155 ΠΕΡΙ ΤΟΥ ΟΤΙ ΠΑΝΤΩΝ ΤΩΝ ΥΓΡΩΝ ΤΟ ΘΕΙΟΝ ΥΔΩΡ ΚΑΛΟΥΣΙΝ· ΚΑΙ ΤΟΥΤΟ ΣΥΝΘΕΤΟΝ ΕΣΤΙΝ, ΚΑΙ ΟΥΧ ΑΠΛΟΥΝ Τὴν προγεγραμμένην νεφέλην ἕψει ἐλαίῳ· ἡ προγεγραμμένη νεφέλη ὅλον τὸ σύνθεμα· ἔοικεν γὰρ τὸ ὕδωρ τοῦ θείου καὶ ἔλαιον λαμβάνειν. Μετὰ ὅλων δὲ τῶν ὑγρῶν οἰκονομοῦσιν, ἔνυγρον αἰνισσόμενοι· πρῶτον γὰρ ὀξάλμῃ, εἶτα ἐλαίῳ, εἶτα μέλιτι καὶ γάλακτι, ὕδωρ θεῖον αἰνίσσονται· ἀλλὰ καὶ ὁ κρόκος καθ' ἑαυτὸν ἀδυναμεῖ, εἰ μὴ διὰ τοῦ σκεύους τοῦ θείου ὕδατος· καὶ οἱ βαφεῖς οὕτω χρῶνται· .

2.155 Καὶ Μαρία · «λύσιν κομάρεως καὶ ἐλυδρίου.» Καὶ Δημόκριτος ἐν τῇ ὑστέρᾳ τάξει τῶν λευκῶν ζωμῶν· «Ὕδωρ ἀσβέστου στακτικῆς διὰ τοῦ ῥυτοῦ στάζον, ἢ δι' ὑλιστῆρος.» Ταριχεύονται τὰ εἴδη πάντα διὰ τῶν ἁπλῶν ὑγρῶν· καὶ τὰ ἐνδεχόμενα πλύνεται· πλύνονται δὲ οἷον τὰ στερεὰ σώματα· ταριχεύονται δὲ, ἢ λειούμενα, ἢ βρεχόμενα, καὶ τὰ ἐνδεχόμενα ἡλίῳ καὶ δρόσῳ λειοῦνται, ὡς τὸ λευκὸν θεῖον ἡ λιθάργυρος· ταριχεύονται περὶ τὸν ἀριθμὸν οἷα ἡμέραν α′ ἢ γ′ ἢ ε′ ἢ ζ′, [ἕως] τοῦτο ἐπὶ πάσης λειώσεως. Ταριχευθέντων οὖν αὐτῶν, συμμίξεις ποιήσεις καὶ συλλειοῖς ἐν δρόσῳ καὶ ἡλίῳ. Καὶ ἀναξηράνας καὶ συλλειώσας αὐτοῖς νιτρελαίῳ κατάσπα, καὶ εὑρήσεις μέλανα μόλυβδον. Τοῦτον λύε, ἀναλάμβανε ὑδράργυρον καὶ ὕδωρ θεῖον καὶ κόμμι, καὶ ὄπτησον ἐλαφροῖς φωσὶν, ἕως ἂν ἀπόθηται τὸ ὕδωρ, καὶ λύεις ἐν ἡλίῳ, ἕως οὗ λευκανθῇ καλῶς.

2.156 Τοῦτο πολλάκις ποιοῦσιν βαπτίζοντες τὸ σκωρίδιον. Καὶ Πηβίχιο ς· «Κατάβαπτε δὶς ζ′ καὶ δὶς ὀκτὼ ἐπὶ ὀκτὼ καὶ ἐπιπλέω.» Καὶ Δημόκριτο ς , τὸ αὐτὸ ποιῶν ἐν τῇ ὑστέρᾳ τάξει τῶν λευκῶν ζωμῶν, εἰς τοῦτο πόρον καταβάπτει καὶ τὰ ἔνσκια πέταλα, καὶ ἀποσκιώσεις ποιεῖ. Καὶ ἀναξηράνας εἰ ἔστιν ἀσκίαστος, ἀναλάμβανε νεφέλην, βάλλε τὰ ξανθῶσαι δυνάμενα ὕδωρ θεῖον, καὶ κόμμι, πῆξον ἐλαφροῖς φῶσιν· Ὅταν πήξῃς, μεταβαλὼν [ἡμέρας β′ ἢ γ′] καταρρεῦσαι ποίησον εἰς τὸ τοῦ φαρμάκου λείψανον ἡμέρας β′ ἢ γ′ .

2.156 ἢ ζ′ ἢ μα′. Τούτῳ ἐπιβάλλεις ἄργυρον κοινὸν, καὶ βάπτεις. Ἑξῆς δὲ καὶ περὶ τῶν καιρῶν ζητήσωμεν.